UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## (Politeia Athenaion) Aristotelis Politeia Athenaion

### Aristoteles

### Lipsiae, 1903

Heraclidis epitoma

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2793

Visual Library

## HERACLIDIS EPITOMA.

(Prima [§§ 1—4], quae ex deperdita parte libelli excerpta sunt, v. supra p. 1 sqq.)

5. *Σόλων νομοθετῶν Ἀθηναίοις καὶ χρεῶν ἀποκοπὰς ἐποίησε, τὴν σεισάχθειαν καλουμένην.* (Arist. 6, 1.) *ὡς δ' ἐνώχλουν αὐτῷ τινες περὶ τῶν νόμων, ἀπεδήμησεν εἰς Αἴγυπτον.* (11, 1.)

6. *Πεισίστρατος τριάκοντα καὶ τρία ἔτη τυραννήσας γηράσας ἀπέθανε.* (17, 1.) *Ἵππαρχος ὁ υἱὸς Πεισιστράτου παιδιώδης ἦν καὶ ἐρωτικὸς καὶ φιλόμουσος, Θεσσαλὸς δὲ νεώτερος καὶ θρασύς.* (18, 1. 2.) *τοῦτον τυραννοῦντα μὴ δυνηθέντες ἀνελεῖν Ἵππαρχον ἀπέκτειναν τὸν ἀδελφὸν αὐτοῦ.* (18, 3.) *Ἱππίας δὲ πικρότατα ἐτυράννει.* (19, 1.)

7. *καὶ τὸν περὶ ὀστρακισμοῦ νόμον εἰσηγήσατο, ὃς ἐτέθη διὰ τοὺς τυραννιῶντας. καὶ ἄλλοι τε ὠστρακίσθησαν καὶ Ξάνθιππος καὶ Ἀριστείδης.* (22, 1. 3. 5. 6.)

8. *Ἐφιάλτης* (25.) *τοὺς ἰδίους ἀγροὺς ὀπωρίζειν παρεῖχε τοῖς βουλομένοις, ἐξ ὧν πολλοὺς ἐδείπνιζε.* (27, 3.)

9. *Κλέων παραλαβὼν διέφθειρε τὸ πολίτευμα* (28, 3), *καὶ ἔτι μᾶλλον οἱ μετ' αὐτόν* (28, 4. 5. 35, 3), *οἳ πάντα ἀνομίας ἐνέπλησαν, καὶ ἀνεῖλον οὐκ ἐλάσσους χιλίων φ'.*

---

Edidit has Politiarum epitomas post Schneidewinum Muellerus (Frg. Hist. Gr. II, 208) et Valentinus Rose (Aristot. frg. p. 370 sqq.).

6 *δὲ διώχλουν* codd., em. ex Arist. W.-K. 22 *πάντας* codd.

(35, 4.) *τούτων δὲ καταλυθέντων Θρασύβουλος καὶ Ῥίνων προειστήκεσαν, ὃς ἦν ἀνὴρ καλὸς καὶ ἀγαθός.* (37, 1. 38, 4.)

10. *Θεμιστοκλῆς καὶ Ἀριστείδης.* (23, 2. 28, 2.) *καὶ ἡ ἐξ Ἀρείου πάγου βουλὴ πολλὰ ἐδύνατο.* (23, 1. 41, 2.)

11. *καὶ τῶν ὁδῶν ἐπιμελοῦνται, ὅπως μή τινες κατοικοδομῶσιν αὐτὰς ἢ δρυφάκτους ὑπερτείνωσιν.* (50, 2.) *ὁμοίως δὲ καθιστᾶσι καὶ τοὺς ἕνδεκα ⟨κληρω⟩τούς, ἐπιμελησομένους τῶν ἐν τῷ δεσμωτηρίῳ.* (52, 1.) *εἰσὶ δὲ καὶ ἐννέα ἄρχοντες, θεσμοθέται ϛʹ, οἳ δοκιμασθέντες ὀμνύουσι δικαίως ἄρξειν καὶ δῶρα μὴ λήψεσθαι ἢ ἀνδριάντα χρυσοῦν ἀναθήσειν.* (55, 1. 2. 4.) *ὁ δὲ βασιλεὺς τὰ κατὰ τὰς θυσίας διοικεῖ* (57, 1) *καὶ τὰ πολέμια.*

---

7 *ἀνοικ.* codd.; em. W.-K. 8 ⟨*κληρωτούς*⟩, *τοὺς* Papageorg., contra [*τοὺς*] W.-K. 10 *θεσμοθέται ἕξ, οἳ* Corais: *θεσμοθετικοὶ* (*-ητικοὶ* C) *καὶ οἱ* AC, *θεσμοθέται καὶ* (*καὶ* om. Vat.) *οἱ* rell.

## FRAGMENTA

primae partis deperditae v. supra p. 1 sqq. Praeter aperte spuria (W.-K.[3] p. 87 sqq.) vel falso ad hunc librum relata (ibd. p. 89 sq.) relinquitur unum quod tomi quarti (p. XXXIV) fuisse videri potest, sed a W.-K. et ipsum inter spuria refertur:

7 W.-K. (456 R.)

*τὸ δὲ παρακαταβαλλόμενον ἐπὶ τῶν ἐφέσεων, ὅπερ οἱ νῦν παραβόλιον καλοῦσι, π α ρ ά β ο λ ο ν Ἀ ρ ι σ τ ο τ έ λ η ς λέγει.* Poll. 8, 62.

---

*παραβόλιον* vulgare damnat Phrynichus p. 238 Lob.; *παράβολον* nusquam praeterea legitur.